οὐκ ἔφυσεν ὀδόντας. ἵνα ὡς ξένον διαβάλῃ. ἡ δὲ παροιμία ἐπὶ τῆς ἑπτέτης ὢν ὀδόντας οὐκ ἔφυσεν. ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ὀδόντας, συγγενεῖς εἶπεν. ἡ μεταφορὰ ἀπὸ τῶν παιδίων οἵτινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη, ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει A οὖν, ὅτι χρονίσας ἐν ταῖς Ἀθήναις, οὐκ ἐδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. ἔστι δὲ, ὡς ξένος κωμῳδεῖται. καὶ Εὔπολις Βάπταις. ἐπιχώριος δ᾽ ἔστι καὶ ξένης ἀπὸ χθονός.

Ἐν τοῖς ἄνω νεκροῖσι.
Κἄστι τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας.
Τὸν Κλεισθένη δ᾽ ἀκούω
Ἐν ταῖς ταφαῖσι, πρωκτὸν
B Τίλλειν ἑαυτοῦ, καὶ σπαράττειν τὰς γνάθους.
Κἀκόπτετ᾽ ἐγκεκυφώς.
Κἄκλαε, κἀκεκράγει
Σεβῖνον ὅς τις ἐστὶν Ἀναφλύστιος.
Καὶ Καλλίαν γέ φασι
Τουτονὶ τὸν Ἱπποβίνου,
Κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον.

*Remp. administrat:*
*Et principatum nequitiæ illic obtinet.*
*Et fama Clisthenem fert,*
*Anum sibi in sepulcris*
*Conuellere, & genas depiles reddere.*
*Præcisus hic supinus,*
*Plorabat & vocabat*
*Sebinum: quisquis ille est tandem Anaphlystius.*
*Tum Calliam, Cinædi*
*Gnatum, ferunt, amictum*
*Cunni leonina fuisse in prælio.*

Σχόλια. Ἐν τοῖς ἄνω νεκροῖς.] οὐχ ὡς Ἀπολλώνιος πρὸς τὴν ἐξήγησιν τὴν εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν, ὅτι διὰ τὴν κακοπραγίαν, νεκροὺς τοὺς Ἀθηναίους λέγει. ψυχρὸν γάρ. ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας, ἄνω νεκροὺς φασιν. ἢ ὅτι κατετρίβησαν ἐν τοῖς κακοῖς ὑπὸ τῶν στρατηγῶν. ἄλλως. νεκροὺς τοὺς Ἀθηναίους λέγει ἢ διότι τὸ ἀρχαῖον φρόνημα ἀποβεβλήκασιν. ἢ διότι οἱ ἐν τῷ κόσμῳ ἄνθρωποι εἰκῇ ζῶσιν, ἀλλὰ τοῖς τοῦ βίου ματαίοις ἐγκυλινδούμενοι δεινότερα τῶν τεθνηκότων πάσχουσι ζῶντες κολαζόμενοι. ἢ διότι πολλοῖς κακοῖς ὑπὸ τῶν δημαγωγῶν κατατειβόμενοι, ἀναισθήτως ἔχουσιν ὡς νεκροὶ αὐτοὺς ἀτιμωρήτους ἐῶντες. χαρίεν δὲ τὸ ὑπὸ τῶν νεκρῶν τοὺς ζῶντας καλεῖσθαι νεκρούς. Τῆς ἐκεῖθεν μοχθηρίας.] ἀντὶ τοῦ εἰπεῖν δημαγωγίας ἢ πολιτείας, μοχθηρίας εἶπεν χαριέντως πρὸς τὰ κακὰ αὐτῶν. Τὸν Κλεισθένη.] διαβάλλει τὸν Κλεισθένην ὡς φαυλόβιον, καὶ πρὸς τὸν Σεβῖνον πορνευόμενον. διὸ καὶ δεινοπαθοῦντά φησιν ἐπὶ τῇ τούτου τελευτῇ. Ἐν ταῖς ταφαῖσι.] ταφαί, ὅπου οἱ ἐνδόξως τετελευτηκότες ἐθάπτοντο δημοσίᾳ. ἄλλως. τοῖς κατὰ τὸν πόλεμον ἀποθανοῦσι, δημοσίᾳ ταφὰς προὐτίθεσαν. τὸ οὖν τίλλειν τὰς τρίχας καὶ κόπτεσθαι, ἅμα μὲν ὡς ἐπὶ τετελευτηκότι, ἀνασχήμως. ἅμα δὲ εἰς μαλακίαν. καὶ τὸ κόπτεσθαι κακεμφάτως. Σεβῖνον, ὅς τις ἐστὶν Ἀναφλύστιος.] ὀνοματοποιεῖ τοῦτο, ὡς πρὸς τὴν μαλακίαν Κλεισθένους παρὰ τὸ αἰσχρόν. πιθανῶς δὲ τὸ ὅς τις, ἐμφαίνει, οὐ τοῦ ὑπὸ ἑνὸς μόνου περαινομένου. πέπλασται δὲ αὐτῷ ὥσπερ ὁ Σεβῖνος, οὕτω καὶ ὁ Ἀναφλύστιος. ἀναφλᾶν γὰρ ἔλεγον τὸ μαλάσσειν τὸ αἰδοῖον. καὶ Σεβῖνος ἴσως παρὰ τὸ βινεῖν. ἔστι δὲ καὶ Σεβῖνος ὠνομασμένος παρὰ Πλάτωνι ποιητῇ. ἔστι δὲ καὶ δῆμος Ἀττικῆς Ἀναφλύστιος. Τουτονὶ τὸν Ἱπποβίνου.] παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν παρὰ τὸ Ἱππονίκου εἰς πορνομανῆ. τὸ δὲ ἵππος πολλαχοῦ, ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν. ἱππόπορνε. κωμῳδεῖται δὲ καὶ ὁ Καλλίας, ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν. καὶ μάλιστα ἐπὶ γυναιξὶ μεμηνώς. ἢ τοῦ κτηνοβάτου.

BISETVS. Σύστημα κατὰ περικοπὴν E ἐκ κώλων θ΄.

Δι. Ἔχοιτ᾽ ἂν οὖν φράσαι νῷν
Πλοῦτον ὅπου ἐνθάδ᾽ οἰκεῖ;
Ξένω γὰρ ἐσμὲν, ἀρτίως ἀφιγμένω.
Χο. Μηδὲν μακρὰν ἀπέλθῃς.
Μηδ᾽ αὖθις ἐπανέρῃ με.
Ἀλλ᾽ ἴσθ᾽ ἐπ᾽ αὐτὴν τὴν θύραν ἀφιγμένος.
Δι. Αἴρεις ἂν αὖθις αὖγε παῖ τὰ στρώματα.
F Ξα. Τουτὶ τί ἦν τὸ πρᾶγμα;
Ἀλλ᾽ ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασι.

*BA. Scitin' monstrare nobis,*
*Vbi Plutus hic moretur?*
*Nam peregrini sumus: & modò huc aduenimus.*
*CH. Ne longiùs recedas,*
*Neu denuò roges me:*
*Sed ipsum te scito attigisse hic ostium.*
*BA. Age puer iterum tu hæc sustolle stragula.*
*XA. Quid hoc rei sit obsecro?*
*Nisi, quòd Iouis Corinthus in ipsis stragulis?*

Σχόλια. Ἀλλ᾽ ἢ Διὸς Κόρινθος] παροιμία ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων. τῶν Μεγαρέων ἀποστάντων Κορινθίων, ἀπεστάλη κήρυξ πολλάκις λέγων, ὅτι οὐκ ἀνέξεται ὑμῶν ὁ τοῦ Διὸς Κόρινθος. ἐπέμενέ τε οὖν αὐτὸ λέγων. οἱ δὲ Μεγαρεῖς συγχυθέντες καὶ εἰς ὀργὴν τραπέντες ἔλεγον, παῖε παῖε τὸν Διὸς Κόρινθον. τουτέστι τὸν κήρυκα. καὶ παροιμία ἐλέχθη ἐπὶ ταυτολογούντων ἀεὶ καὶ τὰ αὐτὰ πραττόντων. ὁ δὲ Διὸς Κόρινθος παῖς Διὸς βασιλεὺς Κορίνθου. Μεγαρεῖς δὲ ὑποτελεῖς ἦσαν Κορινθίοις. Μεγαρέας φασὶ Κορινθίων ἀποίκους, πολλὰ τοῖς Κορινθίοις κατ᾽ ἰσχὺν τῆς πόλεως ὑπείκειν. ἄλλα τε γὰρ πλείονα τοὺς Κορινθίους προστάσσειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσει, διώκουσι δὲ αὐτοὶ τὴν πόλιν, ἔδει οὖν Μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς G Κόρινθον συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλιπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἔρρωτο καὶ πρὸς ἐλπίσι τοῦ μηδὲν παθεῖν ἀποστάντας αὐτούς, ἀλλ᾽ ἀφεῖναι, πέμπουσι δὴ πρέσβεις οἱ Κορίνθιοι, κατηγορήσοντας Μεγαρέων. οἱ προσελθόντες εἰς τὴν ἐκκλησίαν, ἄλλα τε πολλὰ διεξῆλθον, καὶ τέλος, δικαίως στενάξοι ὁ Διὸς Κόρινθος, εἰ μὴ λάβοι δίκην παρ᾽ αὐτῶν. ἐφ᾽ οἷς παροργισθέντες οἱ Μεγαρεῖς, τοὺς πρέσβεις λίθοις ἔβαλον. καὶ μετὰ μικρὸν ἐπιβοησάντων τινῶν τοῖς Κορινθίοις, καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων ἐφαπτόμενοι κλείνοντες ἅμα παίειν τὸν Διὸς Κόρινθον ἐκέλευον. ὅθεν φησὶν ὁ Δήμων ἔτι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων καὶ δεινῶς ἀπαλλαττόντων, τὴν παροιμίαν τετάχθαι.

BISETVS.